UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

Socrates <Scholasticus>

Mogvntiae, 1677

Caput XIX. De improbitate Theophili, deque inimicitiis inter Aegyptios & Constantinopolitanos: & de fuga Theophili. Item de Nilammone monacho: & de Synodo pro Ioanne collecta.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

ἵν' εἴη δῆλον ὡς ἀδίκως ἀφῃρέθη τῆς ἐπισκοπῆς, παρῃτεῖτο τέως τὴν εἰς τὴν πόλιν εἴσοδον· ἐπεὶ δὲ πάλιν ὁ λαὸς ἠγανάκτει, καὶ τοὺς κρατοῦντας ἐλοιδόρει, βιασθεὶς εἰσῆλθεν· ἐν ψαλμῳδίαις δὲ πρὸς τὸ συμβὰν πεποιημέναις ὑπαντήσας ὁ δῆμος· ἔφερον δὲ κηροὺς ἡμμένους οἱ πλείους, ἄγουσιν αὐτὸν ἐπὶ τὴν ἐκκλησίαν· παραιτούμενόν τε, καὶ πολλάκις ἰσχυριζόμενον χρῆναι πρότερον τοὺς καταψηφισαμένους αὐτοῦ πάλιν ἀποψηφίσασθαι, ὡς ἱερεῦσι θέμις, ἠνάγκασαν τὴν εἰρήνην τῷ λαῷ προσειπεῖν, καὶ εἰς τὸν ἐπισκοπικὸν καθίσαι θρόνον· ἀναγκασθεὶς δὲ, καὶ σχέδιόν τινα διεξῆλθε λόγον· ἐκ χαριεστάτης δὲ εἰκόνος τὰς ἀφορμὰς λαβὼν, ὑπεδήλου θεόφιλον μὲν ἐνυβρίσαι τὴν ὑπ' αὐτὸν ἐκκλησίαν ἐπιχειρῆσαι, ὡς τὸν αἰγυπτίων βασιλέα τὴν ἀβραὰμ τοῦ πατριάρχου γαμετὴν, ὡς αἱ τῶν ἑβραίων ἱστοροῦσι βίβλοι· τὸν δὲ λαὸν ὡς εἰκὸς ἐπαινέσας τῆς προθυμίας, καὶ τοὺς κρατοῦντας τῆς περὶ αὐτὸν εὐνοίας, εἰς πολλοὺς κρότους καὶ εὐφημίαν τοῦ βασιλέως καὶ τῆς αὐτοῦ γαμετῆς, τὸ πλῆθος ἐκίνησεν, ὡς καὶ ἡμιτελῆ καταλιπεῖν τὸν λόγον.

A quo palam fieret Episcopatum ipsi injuste ademptum fuisse, ingredi in urbem sustinebat. Sed cum populus denuo indignaretur, & Imperatores conviciis incesseret, coactus tandem introivit. Porro populus psalmos canens ad præsens negotium compositos, plerique etiam cereos accensos manibus gestantes, obviam ei progressi, ad Ecclesiam eum deduxerunt. Et quanquam recusantem, ac sæpius affirmantem prius necesse esse, ut qui ipsum condemnaverant, mutata sententia nunc absolverent, compulerunt, uti mos est Episco- B pis, pacem populo dare, & in Episcopali solio considere. Coactus itaque, extemporalem quoque habuit orationem. Sumptoque argumento ex elegantissima similitudine, figurate indicavit, Theophilum quidem tentasse vim inferre Ecclesiæ suæ, perinde ac olim regem Ægyptium uxori Patriarchæ Abrahami, ut refertur in sacris Hebræorum libris: Populum vero ob propensum erga se animum, & Imperatores ob prolixam benevolentiam, ut par erat, laudibus prosecutus, tantos multitudinis plausus totque acclamationes in laudem Imperatoris & Augustæ excitavit, ut C orationem imperfectam abrumpere sit coactus.

## Κεφ. ιθʹ.

Περὶ τῆς δυστροπίας θεοφίλου, καὶ περὶ τῆς ἔχθρας αἰγυπτίων, καὶ τῶν κωνσταντινουπολιτῶν· καὶ περὶ τῆς φυγῆς θεοφίλου· καὶ νιλάμμωνος τοῦ ἀσκητοῦ, καὶ τῆς περὶ ἰωάννην συνόδου.

Θεόφιλος δὲ ἀπορῶν ὅτι χρήσαιτο τοῖς παροῦσιν, οὐκ ἐθάρρει, καίπερ προθυμούμενος εἰς τὸ φανερὸν διαβάλλειν ἰωάννην, ὡς παρανόμως μετὰ καθαίρεσιν ἱερωμένον· ἤδη γὰρ τοῖς κρατοῦσι προσκρούσειν, οἳ διὰ τὴν κίνησιν τοῦ δήμου, παραιτούμενον ἐπανελθεῖν ἐβιάσαντο· τοῖς δὲ ἡρακλείδου κατηγόροις δικαστήριον κατ' ἀπόντος προτέθηκεν, οἰηθεὶς ἐντεῦθεν εὐλογωτέραν πως αἰτίαν εὑρήσειν τῆς ἰωάννου καθαιρέσεως· ἀντερέντων δὲ τῶν αὐτοῦ ἐπιτηδείων, ὡς οὐ νόμιμον οὐδὲ ἐκκλησιαστικὸν, τὸν ἀπόντα κρίνεσθαι· τῶν δὲ περὶ τὸν θεόφιλον τἀναντία ἰσχυριζομένων, ἐπιλαβόμενοι τῆς ἔριδος τὸ λοιπὸν τῶν ἀλεξανδρέων καὶ αἰγυπτίων

## Caput XIX.

*De improbitate Theophili, deque inimicitiis inter Ægyptios & Constantinopolitanos: & de fuga Theophili. Item de Nilammone monacho: & de Synodo pro Ioanne collecta.*

At Theophilus ambigens quid facto opus esset, licet Joannem publi- D ce accusare vellet, quod contra præscripta legum, post depositionem sacerdotio fungeretur, non tamen satis fiduciæ habebat. Norat enim se hoc facto Imperatorem & proceres offensurum, qui propter populi seditionem eum invitũ redire compulerant. Igitur accusatoribus Heraclidis, judicium contra absentem constituit, ratus ex ea re probabiliorem se causam deponendi Joannis arrepturum. Sed cum amici ejus contradicerent, nec justum, nec Ecclesiasticum esse affirmantes, hominem absentem judicare, Theophilus vero cum suis contra niteretur; hinc reliqua Ægyptiorum

& Alexandrinorum multitudo, inde populus Constantinopolitanus rixari aggressi, in se mutuo impetum fecére. Adeo ut multi vulnerati, quidam etiam interfecti sint. Itaque Severianus & reliqui Episcopi metu conterriti, exceptis iis qui Joanni adhærebant, omnes ex urbe aufugerunt. Ipse etiam Theophilus illico nihil cunctatus, ineunte jam hyeme, fugiens unà cum Isaacio monacho, in Ægyptum navigavit. Forte accidit, ut navis secundo vento appelleret Geras, parvum oppidum, quinquaginta circiter stadiis distans Pelusio. Ejus loci Episcopo tunc mortuo, cives quidem, ut accepi, Nilammonem Ecclesiæ suæ Antistitem elegerant; virum bonum, & qui ad monasticæ Philosophiæ cultum pervenerat. Is degebat juxta urbem, in cella, in qua seipsum incluserat, & januam lapidibus obstruxerat; Recusabat autem sacerdotium suscipere. Verum Theophilus ad eum accedens, hortari cœpit, ut ordinari se ab ipso pateretur. Ille cum sæpius recusans Theophilo non persuaderet, tandem, crastino die, inquit, id fac, si tibi ita videtur, ô Pater, ut mihi liceat hodie res meas disponere. Postridie cum ex compacto venisset Theophilus, jussissetque ut januam aperiret: Age, inquit Nilammon, prius vacemus orationi. Tum Theophilus probato ejus consilio, Deum oravit. Nilammon vero inter orandum ex hac vita migravit. Et initio quidem Theophilum & eos qui cum illo extra cellam stabant, ea res latuit. Sed cum maxima pars diei jam consumpta esset, & altiori voce crebro inclamantibus ille nihil responderet, tandem dejectis lapidibus, qui ante ostium positi erant, hominem mortuum deprehenderunt; Eumque quo par erat cultu indutum publicâ sepulturâ honorarunt. Ecclesiam quoque circa ejus tumulum incolæ ejus loci ædificarunt, diemque illius obitus celeberrimum agere hactenus perseverant. Et Nilammon quidem hoc genere mortis interiit. Si tamen mors vocanda est, quam ille subire maluit, quàm Episcopatum suscipere, quo quidem ob singularem modestiam sese indignum existimabat. Joannes vero Constantinopolim reversus, multitudini adhuc gratior apparuit. Porro cùm eo tempore sexaginta circiter Episcopi

A πλῆθος, καὶ ὁ κωνσταντινουπόλεως λαὸς, εἰς ἀλλήλους ἐχώρησαν· ὡς πολλοὺς τραυματίας γενέσθαι, τινὰς δὲ καὶ ἀπολέσθαι· δείσαντες δὲ ὅ τε σεβηριανὸς καὶ οἱ ἄλλοι ἐπίσκοποι, πλὴν τῶν τὰ ἰωάννου φρονούντων, φυγῇ τὴν κωνσταντινούπολιν ἀπέλιπον· καὶ θεόφιλος δὲ αὐτίκα μηδὲν ἀναβαλλόμενος, ἤδη τοῦ χειμῶνος ἀρχομένου, φεύγων ἅμα ἰσαακίῳ τῷ μοναχῷ ἀπέπλευσεν εἰς ἀλεξάνδρειαν· ἀπὸ δὲ τοῦ πελάγους ὧδε συμβὰν, κατῆρεν εἰς γέρας, πόλιν μικρὰν, ἀμφὶ πεντήκοντα στάδια τοῦ πηλουσίου ἀφεστῶσαν· τελευτήσαντος δὲ τότε τοῦ ἐνθάδε ἐπισκόπου,

B οἱ μὲν πολῖται, ὡς ἐπυθόμην, ἐψηφίσαντο νιλάμμωνα προεστάναι τῆς αὐτῶν ἐκκλησίας, ἄνδρα ἀγαθὸν, καὶ μοναστικῆς φιλοσοφίας εἰς ἄκρον ἐλθόντα· ᾤκει δὲ πρὸ τοῦ ἄστεως, ἐν οἰκήματι καθείρξας ἑαυτὸν, καὶ λίθοις τὴν θύραν ἀποφράξας· ἀποφεύγοντα δὲ τὴν ἱερωσύνην, ἐλθὼν πρὸς αὐτὸν θεόφιλος, συνεβούλευε καταδέχεσθαι τὴν παρ' αὐτοῦ χειροτονίαν· ὁ δὲ πολλάκις παραιτησάμενος ὡς οὐκ ἔπειθεν, αὔριον εἴ σοι φίλον, ἔφη, πρᾶξον ὦ πάτερ· ὡς ἐμὲ σήμερον τὰ κατ' ἐμαυτὸν διαθεῖναι· ἐπεὶ δὲ τῇ ὑστεραίᾳ κατὰ τὰ συγκείμενα ἦλθε, καὶ τὴν θύραν ἀνοιγῆν

C ἐκέλευσεν, ἄγε δὴ πρότερον, ὁ νιλάμμων ἔφη, εὐξώμεθα· καὶ θεόφιλος ἐπαινέσας, ηὔξατο· νιλάμμων δὲ ἐν τῷ εὔχεσθαι, τὴν ἐνθάδε κατέλιπε βιοτήν· τοῦτο δὲ, τὰ μὲν πρῶτα ἠγνοεῖτο θεοφίλῳ καὶ τοῖς ἀμφ' αὐτὸν ἔξωθεν ἑστῶσιν· ἀναλωθείσης δὲ λοιπὸν τῆς ἡμέρας, ὡς πολλάκις γεγωνότερον καλεσάντων οὐχ ὑπήκουε, καταβαλόντες τοὺς περὶ τῆς θύρας λίθους, εὗρον τὸν ἄνδρα νεκρὸν· καὶ περιστείλαντες ᾗ ἔδει, δημοσίας ἠξίωσαν ταφῆς· καὶ εὐκτήριον οἶκον περὶ τὸν αὐτοῦ τάφον ᾠκοδό-

D μησαν οἱ ἐπιχώριοι· καὶ ἐπισημότατα εἰσέτι νῦν τὴν ἡμέραν τῆς αὐτοῦ τελευτῆς ἄγουσιν· ὁ μὲν δὴ νιλάμμων ὧδε τέθνηκεν, εἴ γε θάνατον δεῖ καλεῖν, ὃν ὑπομεῖναι ηὔξατο πρὶν ἐπιτραπῆναι τὴν ἱερωσύνην, ἧς ἀνάξιος εἶναι διὰ μετριότητα τρόπων ἡγεῖτο· ὁ δὲ ἰωάννης ἐπανελθὼν εἰς κωνσταντινούπολιν, ἔτι μᾶλλον κεχαρισμένος τῷ λαῷ ἐφαίνετο· συνεληλυθότων δὲ τότε ἐν κωνσταντινουπόλει ἀμφὶ ἑξήκοντα ἐπισκόπων, ἀκοῇ τε

τὰ ἐκ τῇ δρυῒ πεπραγμένα, καὶ αὐτὸν ἔχειν τὴν ἐπισκοπὴν ψηφισαμένων, διετέλεσεν ἱερώμενος, καὶ χειροτονῶν, καὶ τ' ἄλλα περὶ τὴν ἐκκλησίαν ᾗ θέμις τοῖς ἱερεῦσι, διέπων· ἡνίκα καὶ Σαραπίωνα τὸν ἐν θρᾴκῃ ἡρακλείας ἐπίσκοπον κατέστησεν.

A Constantinopolim convenissent, statutumque ab illis esset, ut ea quæ apud Quercum gesta fuerant irrita essent, utque Joannes Episcopatum retineret: ille deinceps missarum solennia celebrare, ordinationes facere, & alia in Ecclesia disponere, prout sacerdotibus jus fasque est, perseveravit. Quo quidem tempore etiam Serapionem Heracleæ in Thracia Episcopum constituit.

B

## Κεφ. κ'.

Περὶ τοῦ ἀνδριάντος τῆς βασιλίδος· καὶ περὶ τῆς ἰωάννου διδασκαλίας, καὶ τῆς κατ' αὐτοῦ πάλιν ἀθροισθείσης συνόδου, καὶ καθαιρέσεως.

ΟΥ πολλῷ δὲ ὕστερον, ἀνδριάντος ἀργυροῦ τῆς τοῦ βασιλέως γαμετῆς ἐπὶ πορφυροῦ κίονος ἀνατεθέντος, ὃς καὶ νῦν ἐστὶ πρὸς μεσημβρίαν τῆς ἐκκλησίας, πρὸ τοῦ οἴκου τῆς μεγάλης βουλῆς ἐφ' ὑψηλοῦ βήματος, κρότοι τε καὶ δημώδεις θέαι ὀρχηστῶν τε καὶ μίμων ἐνθάδε ἐπετελοῦντο, ὡς ἔθος C ἦν τότε ἐπὶ τῇ ἀνακλήσει τῶν βασιλικῶν εἰκόνων· ἐφ' ὕβρει δὲ τῆς ἐκκλησίας τάδε γεγενῆσθαι, ἐν ὁμιλίᾳ πρὸς τὸν λαὸν ὁ ἰωάννης διέβαλεν· ἡ δὲ βασιλὶς, ἔτι προσφάτου οὔσης τῆς μνήμης τῶν προτέρων λυπηρῶν, ὡς ὑβρισμένη πάλιν ἐμπίπλαται θυμοῦ, καὶ σύνοδον αὖθις ἐπιτελεσθῆναι ἐσπούδαζεν· ὁ δὲ, οὐκ ἐνεδίδου· ἀλλ' ἔτι σαφέστερον ἐπὶ ἐκκλησίας λοιδορῶν αὐτὴν, ἐξέκαυσε πρὸς ὀργήν· ἡνίκα δὴ τὸν ἀοίδιμον ἐκεῖνον διε- D ξῆλθε λόγον, ἀρξάμενος ὧδε, πάλιν ἡρωδιὰς μαίνεται, πάλιν ὀρχεῖται, πάλιν ἰωάννου τὴν κεφαλὴν ἐπὶ πίνακος σπουδάζει λαβεῖν· οὐκ εἰς μακρὰν δὲ ἄλλοι τε ἐπίσκοποι παρεγένοντο, καὶ λεόντιος ὁ ἀγκύρας, καὶ ἀκάκιος ὁ βερροίας· ἐπιγενομένης δὲ τῆς γενεθλίου ἡμέρας τοῦ χριστοῦ, ὁ μὲν βασιλεὺς, ὡς εἰώθει, εἰς τὴν ἐκκλησίαν οὐκ ἦλθεν· ἐδήλωσε δὲ ἰωάννῃ, μὴ κοινωνεῖν αὐτῷ πρὶν ἀνεύθυνος φανῇ τῶν ἐγκλημάτων· ἐπεὶ δὲ προθύμως ἀπολογεῖσθαι ἔφη, οἱ κατήγοροι δείσαντες ἐπεξιέναι τοῖς ἐγκλήμασιν οὐκ ἐθάῤῥουν· ἔδοξε δὲ τοῖς δικασταῖς, μὴ δεῖν εἰς δευτέραν χωρεῖν

## Caput XX.

*De statua Augustæ, & de concione Joannis: & de Synodo quæ rursus contra illum congregata est, deque ejus depositione.*

HAud multo post, cùm argentea Imperatricis statua purpureæ columnæ imposita dedicarêtur, quę etiamnum cernitur ad meridianam Ecclesiæ plagam, ante Ædem magni Senatus, super excelso tribunali collocata; plausus illic, & saltatorum ac mimorum publica spectacula edebantur, sicuti tunc mos erat in dedicatione Imperialium imaginum. Hæc Joannes ad contumeliam Ecclesiæ gesta esse, in sermone ad populum criminatus est. Imperatrix vero, cum recens adhuc esset memoria offensarum præteriti temporis, quasi injuriam passa, denuo excanduit: deditque operam ut alia rursus Synodus congregaretur. Joannes tamen haudquaquam cessit: sed adhuc apertius eam in Ecclesia vituperans, ad iram excitavit. Quo quidem tempore celebrem illam orationem habuit, hunc in modum exorsus. Rursus Herodias furit: rursum saltat: rursum Joannis caput in disco gestit accipere. Elapso deinde brevi temporis spatio, tum alii Episcopi, tum Leontius Ancyræ & Acacius Berœæ, Constantinopolim advenerunt. Cumque Natalis Christi dies jam adesset, Imperator more solito ad Ecclesiam non processit: sed Joanni per internuntios significavit, se non communicaturum cum illo, priusquam de objectis criminibus satisfaciens, innocentiam suam approbasset. Cum vero Joannes respondisset, paratum se esse ad causam dicendam, accusatores ejus metu perculsi, accusationem prosequi non sunt ausi. Judicibus vero visum est, eum qui quomodocunq; depositus

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN